ΚΡ. πῶς; εἰ γὰρ εἴη δυνατόν· ὡς θέλοιμί γ᾽ ἄν.
ΠΑΙ. ξιφηφόρους σοὺς ὁπλίσασ᾽ ὀπάονας.
ΚΡ. στείχοιμ᾽ ἄν· ἀλλὰ ποῦ γενήσεται τόδε;
ΠΑΙ. ἱεραῖσιν ἐν σκηναῖσιν, οὗ θοινᾷ φίλους.
ΚΡ. ἐπίσημον ὁ φόνος, καὶ τὸ δοῦλον ἀσθενές.
ΠΑΙ. ᾤμοι, κακίζει. φέρε, σύ νυν βούλευέ τι.
ΚΡ. καὶ μὴν ἔχω γε δόλια καὶ δραστήρια.
ΠΑΙ. ἀμφοῖν ἂν εἴην τοῖνδ᾽ ὑπηρέτης ἐγώ.
ΚΡ. ἄκουε τοίνυν· οἶσθα γηγενῆ μάχην;
ΠΑΙ. οἶδ᾽, ἣν Φλέγρᾳ Γίγαντες ἔστησαν θεοῖς.
ΚΡ. ἐνταῦθα Γοργόν᾽ ἔτεκε Γῆ, δεινὸν τέρας.
ΠΑΙ. ἦ παισὶν αὑτῆς σύμμαχον, θεῶν πόνον;
ΚΡ. ναί· καί νιν ἔκτειν᾽ ἡ Διὸς Παλλὰς θεά.
ΠΑΙ. ἆρ᾽ οὗτός ἐσθ᾽ ὁ μῦθος ὃν κλύω πάλαι; 994
ΚΡ. ταύτης Ἀθάνα δέρος ἐπὶ στέρνοις ἔχει.
ΠΑΙ. ἣν αἰγίδ᾽ ὀνομάζουσι, Παλλάδος στολήν;
ΚΡ. τόδ᾽ ἔσχεν ὄνομα θεῶν ὅτ᾽ ἦλθεν εἰς δόρυ. 997
ΠΑΙ. ποῖόν τι μορφῆς σχῆμ᾽ ἔχουσαν ἀγρίας; 992
ΚΡ. θώρακ᾽ ἐχίδνης περιβόλοις ὡπλισμένον. 993
ΠΑΙ. τί δῆτα, θύγατερ, τοῦτο σοῖς ἐχθροῖς βλάβος; 998
ΚΡ. Ἐριχθόνιον οἶσθ᾽ ἢ οὔ; τί δ᾽ οὐ μέλλεις, γέρον;
ΠΑΙ. ὃν πρῶτον ὑμῶν πρόγονον ἐξανῆκε γῆ;
ΚΡ. τούτῳ δίδωσι Παλλὰς ὄντι νεογόνῳ
ΠΑΙ. τί χρῆμα; μέλλον γάρ τι προσφέρεις ἔπος.
ΚΡ. δισσοὺς σταλαγμοὺς αἵματος Γοργοῦς ἄπο.
ΠΑΙ. ἰσχὺν ἔχοντας τίνα πρὸς ἀνθρώπου φύσιν;
ΚΡ. τὸν μὲν θανάσιμον, τὸν δ᾽ ἀκεσφόρον νόσων.
ΠΑΙ. ἐν τῷ καθάψασ᾽ ἀμφὶ παιδὶ σώματος;
ΚΡ. χρυσοῖσι δεσμοῖς· ὃ δὲ δίδωσ᾽ ἐμῷ πατρί.
ΠΑΙ. κείνου δὲ κατθανόντος εἰς σ᾽ ἀφίκετο;
ΚΡ. ναί· κἀπὶ καρπῷ γ᾽ αὔτ᾽ ἐγὼ χερὸς φέρω.
ΠΑΙ. πῶς οὖν κέκρανται δίπτυχον δῶρον θεᾶς;

---

984. *ᾤμοι B οἴμοι C* 995. *Ἀθάνα — ἔχει*] Nauckius, *Ἀθάνας — ἔχειν* libri. 999. *οὔ*] addidit Badhamus. 1004. *ἔχοντας*] Hermannus, *ἔχοι γ᾽ ἄν* libri. 1009. *αὐτὸ ᾽γώ* libri. 1010. *δῶρον*] Stephanus, *δέρος* libri.